# TEZAUR LITURGIC

## 2 FEBRUARIE
## +IACOB MALLIAROU, MITROPOLITUL MITHIMNEI LESBOSULUI

# PARACLISUL ÎNTÂMPINĂRII DOMNULUI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# Παρακλητικός Κανών εις την Υπαπαντή του Κυρίου και Θεού και Σωτήρος ημών Ιησού Χριστού

**Ποίημα Μητροπολίτου Μηθύμνης Ιακώβου Δ. Μαλλιαρού**

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ’ (142) Ψαλμόν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Στίχος β’. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτοῦς.
Στίχος γ’. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τά παρόντα Τροπάρια

Ἦχος δ΄. Τῇ Θεοτόκῳ ἐκτενῶς.
Ὦ Συμεών ἐν τῷ Ναῷ πάλιν φάνηθι, καί σύν τῇ Ἄννῃ μεθ᾽ ἡμῶν νῦν ἱκέτευε, τόν Λυτρωτήν καί Κύριον ὡς βρέφος κρατῶν· ἔρημοι γάρ ἅπαντες προστασίας καί σκέπης, καί τῆς παραβάσεως τούς καρπούς νῦν

τρυγῶμεν. Ἀλλά δυσώπει, πάτερ, ἐκτενῶς, σύν Θεοτόκῳ, εὑρεῖν ἡμᾶς ἔλεος.

Δόξα.

Οι τῷ κελλίῳ τῆς Πανάγνου προσμένοντες, Ὑπαπαντῆς διηνεκῶς ἀναπέμπομεν, ἐν στεναγμοῖς τήν δέησιν θερμήν πρός τόν Θεόν. Δέσποτα ἱλάσθητι, σοῖς ἱκέταις καί ἄνες, πάντων παραπτώματα, ἀναξίων σου δούλων. Πρεσβείαις Ἄννης καί τοῦ Συμεών, πᾶσι παράσχου, πταϊσμάτων τήν ἄφεσιν.

Καί νῦν.

Τῇ Θεομήτορος εἰκόνι προσπέσωμεν, καί ὡς Μητέρα Ἰησοῦ ἱκετεύσωμεν, ὧς παρρησίαν ἔχουσαν θερμήν πρός τόν Υἱόν, ὅν ἀφράστως ἔτεκε, τῆς φωνῆς ἐπακοῦσαι, νῦν ἐν στεναγμοῖς ψυχῆς τῶν οἰκτρῶς δεομένων· Ὡς συμπαθής παράσχου πρός Χριστοῦ, ῥῶσιν σωμάτων, ψυχῇ τε τήν ἴασιν.

Ὁ Ν’ (50) Ψαλμος

Εἶτα ψάλλομεν τάς Ὠδάς τοῦ Κανόνος, οὗ ἡ ἀκροστιχίς

Νῦν ἀπολύοις μὲ Δέσποτα παθῶν ἐπικρατείας

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Νοός μου τήν ζόφωσιν, Ἀγαθή, σπεῦσον ἐξαλεῖψαι, παρασχοῦσα τόν φωτισμόν, ὡς ἄν ἱκεσίας ἀναπέμψω, σοί τῇ Παρθένῳ, Μητρί τοῦ Κυρίου μου.

Υμᾶς τούς προσκλαίοντας σῷ Ναῷ, τῆς Ἀειπαρθένου, τοῦ Κελλίου Ὑπαπαντῆς, καί ὑμνολογοῦντας τόν Υἱόν σου, τῶν χαλεπῶν και δεινῶν ἐλευθέρωσον.

Νεάζων τῷ σώματι Συμεών, ἐν Ναῷ ἐπέστης, ὑπαντῆσαι τόν Λυτρωτήν, καί ἡμῶν τήν δέῃσιν προσδέχου, ἀντιδιδούς τήν χαράν καί την ἄφεσιν.

Ἀσῆρ ἐκ φυλῆς ἡ τοῦ Φανουήλ, ἀνθωμολογεῖτο, τῷ Κυρίῳ ἡ γηραιά, τύπον δοῦσα τοῖς ἐκπεπτωκόσιν ἡμῖν, καί μή, μεταγνοῦσι τῷ πνεύματι.

Πολλαῖς περιστάσεσι τῶν δεινῶν, κυκλούμενοι Κόρη, ἐν Κελλίῳ Ὑπαπαντῆς, σέ παρακαλοῦμεν ὡς Μητέρα, τοῦ ὁραθέντος ὡς βρέφος Θεοῦ ἡμῶν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Οὐρανίων ἁψίδων, ὁ κραταιός Κύριος, βρέφος ὑπομάζιον ὤφθη ἐκ σοῦ, Πανάμωμε, ἵνα καλέσῃν ἡμᾶς, παλινδρομῆσαι πρός ἄνω, τοῖς γηΐνοις νεύοντας ψυχῇ καί σώματι.

Λογισμοῖς ὀλισθαίνοντες, πονηροῖς πάντοτε, σοί τῇ Παντανάσση προστρέχομεν ἱκετεύοντες, ἐπικρατείας παθῶν, λύτρωσαι Κόρη σούς δούλους, καί ἁγνεύειν ποίησον πάντας σῇ χάριτι.

Ὑμᾶς πίστει τιμῶμεν, ὦ Συμεών Ἄννα τε, ὅτι τόν Δεσπότην τῶν ὅλων κατηξιώθητε, ἐν τῷ Ναῷ κατιδεῖν, καί ὑπαντῆσαι ἀξίως. Καί ἡμεῖς τῆς χάριτος ἀξιωθείημεν.

Οι χοροί τῶν ἀγγέλων, ἐν τῷ Ναῷ, Πάναγνε, τόν Ἀμνόν Θεοῦ καθορῶντες ἐν ταῖς ἀγκάλαις σου, νῦν προσφερόμενον, σύν Ἰωσήφ τῷ δικαίῳ, τήν αὐτοῦ ἀνύμνησαν θείαν κατάβασιν.

Ἰδού πίστει καί πόθῳ, ὦ Μαριάμ, ἅπαντες, οἱ Ὑπαπαντῆς τῷ Κελλίῳ καλῶς ἀσκούμενοι, νῦν ἐξαιτοῦμεν δεινῶν, καί πάσης ἄλλης ἀνάγκης, ἐκλυτρῶσαι, Δέσποινα, πάσης τε θλίψεως.

Διάσωσον ἀπό κινδύνων τούς δούλους σοῦ, Θεοτόκε, ὅτι πάντες μετά Θεόν εἰς σέ καταφεύγομεν, ὧς ἄρρηκτον τεῖχος καί προστασίαν.

Ἐπιίβλεψον, ἐν εὐμενείᾳ πανύμνιτε Θεοτόκε, ἐπί τήν ἐμήν χαλειτήν τοῦ σώματος κάκωσιν, καὶ ἴασαν τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Πρεσβείαν θερμήν καί ἔμμονον βοήθειαν, αἰτούμεθα νῦν οἱ πίστει καταφεύγοντες, και οἰκτρῶς δεόμενοι· Συμεών σύν τῇ Ἄννῃ πρεσβεύσατε, τοῦ οἰκτιρῆσαι ἅπαντας ἡμᾶς, Χριστός ὁ ὡς βρέφος βασταζόμενος.

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Σωματούμενον βλέπομεν, τεσσαρακονθήμερον τόν ἀόρατον, εἰς τό σῶσαι τό ἀνθρώπινον, ἁμαρτίαις πτάντοτε κλονούμενον.

Μετά δέους ἱστάμεθα, ἐν Ναῷ Κυρίου και ἱκετεύομεν, ἁμαρτίας ἄφες, Κύριε, ἱκεσίαις πάντων τῶν ἁγίων σου.

Ἐπιμένομεν Δέσποτα, τήν μακροθυμίαν σου παροργίζοντες, μετανοίᾳ καταλάμπρυνον, τούς λατρεύοντάς σοι Ὑπεράγαθε.

Δεξιοῖς τοῖς προβάτοις σου, τούς παρακαλοῦντας ποίησον, Ἅγιε, ὅταν ἔλθῃς κρῖναι ἅπαντας, ὁ ὡς βρέφος νῦν παραγενόμενος.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.
Ἔλεον Ἁγνή, καί εἰρήνην πᾶσι δώρησαι, τοῖς προσιοῦσι νῦν ἐν στεναγμοῖς, καί αἰτουμένοις διά σοῦ τό μέγα ἔλεος.
Σῶσον τούς εἰς σέ, καταφεύγοντας Μητρόθεε, καί σύν Ἄννῃ τε πρεσβύτῃ Συμεών, σεμνή, δυσώπει τόν Υἱόν σου καί Σωτῆρά μου.

Πάναγνε, Θεόν, ἐν ἀγκάλαις μόνη, φέρουσα, τούς ἐν πίστει τε καί πόθῳ ἱερῷ, παρακαλοῦντας υἱούς σου θετούς ἀνάδειξον.

Ολῃ τῇ ψυχῇ, τῷ Ναῷ σου προσερχόμεθα, καί ὑμνῳδίαν ὡς ὁ πάλαι Συμεών, ἐν ἡμέρᾳ καί νυκτί τε πάντες ᾄδομεν.

Ὠδὴ στ΄. Τήν δέησιν ἐκχεῶ.
Τὴν δέησιν τῶν θρηνούντων δούλων σοῦ, Ἀειπάρθενε Μαρία προσδέχου, ὡς ἐν Ναῷ Συμεών σύν τῇ Ἄννῃ, τόν Λυτρωτήν καί Θεόν ὑπεδέξατο, καί πᾶσι δίδου ἐν χαρᾷ, ἀνυμνεῖν σε ἀξίως, Πανάχραντε.

Ἀνάστασις καί ζωή δεδώρηται, τοῖς πιστεύοῦσι τῷ θείῳ Υἱῷ σου, ὅν Συμεών ἐν ἀγκάλαις κρατήσας, τοῦ ποθουμένου ἀξίως τετύχηκε. Παράσχου τοίνυν, Ἀγαθή, μετασχεῖν καί ἡμᾶς τῆς ἐφέσεως.

Πἀράδεισον λογικόν σε ἔγνωμεν, Θεοτόκε Παναγία Παρθένε, ὅτι ἡμῖν, Παραδείσου τάς πύλας, μητροπρεπῶς τοῖς σοῖς δούλοις ἠνέωξας, ἀξίωσον οὖν εἰσελθεῖν, παραβλέπουσὰ πάντα τά πταίσματα.

Ἀνυμφευτὲ Θεοτόκε Δέσποινα, ἡ βαστάσασα ἀγκάλαις τόν Λόγον, δίδου τανῦν καί ἡμῖν σοῖς ἱκέταις, ἁγνοπρεπῶς λιτανεύειν, καί ἄφεσιν ἁπάντων, Κόρη τῶν δεινῶν, ἵνα ἐν ὕμνοις ἀεί σέ γεραίρωμεν.

Διάσωσον ἀστό κινδύνων τούς δούλους σοῦ, Θεοτόκε, ὅτι πάντες μετά Θεόν εἰς σέ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καί προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Κοντάκιον Ἦχος δ'. Προστασία τῶν Χριστιανῶν.
Οι Κελλίῳ τῆς Ὑπαπαντῆς παρεδρεύοντες, καί τόν ὕμνον ἱεροπρεπῶς ἀναφέροντες, δεῦτε πάντες τήν ἑορτήν τιμήσωμεν πιστῶς, σύν τῇ Ἄννῃ καί τόν Συμεών, ἐπικαλούμενοι τανῦν, εἰς βοήθειαν λέγοντες, πάρεστε ἐν τῷ μέσῳ ἡμῶν τῶν ἀνευφημούντων, ὥσπερ παρέστητε Ναῷ, τόν Σωτῆρα μεγαλύνοντες.

Προκείμενον.Μνησθήσομαν τοῦ ὀνόματός σου ἐν πάση γενεᾷ καί γενεᾷ. (δίς)
Στίχ. Ἄκουσον Θύγατερ, καί ἴδε, καί κλῖνον τό οὖς σου, καί ἐπιλάθου τοῦ λαοῦ σου, και τοῦ οἴκου τοῦ πατρός σου, καί ἐπιθυμήσει ὁ Βασιλεύς τοῦ κάλλους σου.
Τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καί γενεᾷ μνησθήσομαι.
Ἔκ τοῦ κατά Λουκᾶν ἁγίου Εὐαγγελίου, τό ἀνάγνωσμα.
Δόξα.
Πάτερ, Λόγε, Πνεῦμα, Τριάς ἡ ἐν Μονάδι, ἐξάλειψον τά πλήνθη τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν.
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἔλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στιχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Προσόμοιον Ἦχος πλ. β΄ Ὅλην ἀποθέμενοι.
Δεῦτε ἱερώτατοι ὦ Συμεών σύν τῇ Ἄννῃ, μεθ᾽ ἡμῶν ὑμνήσατε, τόν Σωτῆρα Κύριον μεγαλύνοντες. Ἑορτῆς πάρεστι, ὁ καιρός ἅγιοι, και ὑμνοῦντες προσκυνήσατε, τήν συγκατάβασιν, τοῦ Μονογενοῦς καί τήν κένωσιν, Υἱοῦ Θεοῦ πανόσιοι καί τήν ἐν Ναῷ ἐναγκάλισιν, ἅπας γάρ ὁ κόσμος, ὑμνοῦμεν ἐν χαρᾷ τόν Λυτρωτήν, τόν εὐδοκήσαντα σήμερον, σῶσαι τό πλανώμενον.

Οὐδείς προστρέχων ἐπί σοί, κατῃσχυμένος ἀπό σοῦ ἐκπορεύεται, ἁγνή, Παρθένε Θεοτόκ᾽ ἀλλ᾽ αἰτεῖται τήν χάριν καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τῆς αἰτήσεως.

Μεταβολή τῶν θλιβομένων, ἀπαλλαγή τῶν ἀσθενούντων, ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῶζε πόλιν καί λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ, γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Θεάνθρωπον ἐδέξω, γηραλέαις ἀγκάλαις, ἐν τῷ Ναῷ Συμεών, τόν πάντα τῇ βουλήσει, ποιήσαντι ἀρρήτως, Θεόν Λόγον καί Κύριον. Ὁ τῶν πατέρων, βοῶν, Θεός εὐλογητός εἶ.
Ω, πῶς ὁ ἐν ὑψίστοις, ὧς Θεός ὑπ᾽ ἀγγέλων συνδοξαζόμενος, ἐτέχθης ἐκ Παρθένου, Ναῷ τε προσηνέχθης, ἐν ἀγκάλαις φερόμενος, ὑπ᾽ ἀπειράνδρου Μητρός, ὁ ὤν εὐλογημένος.

Νεάζων τῇ, καρδίᾳ, Συμεών σύν τῇ Ἄννῃ, την τοῦ Κυρίου φρικτήν Ὑπαπαντήν ποιοῦνται, τῷ Ναῷ ὡς κατεῖδον, ἐν ταῖς ἀγκάλαις φερόμενον, καί συμβοῶσι φαιδρῶς, Θεός εὐλογητός εἰ.

Ἐπίσκεψαι Παντάναξ, τούς οἰκτρῶς δεομένους, ἐν κατανύξει ἡμᾶς, προσπτίπτοντας ἐν πόθῳ, καί δάκρυσιν ἐνθέρμοις, ἱκετεύοντας ἄσμασι, καί ἀνυμνοῦντας φωναῖς, Θεός εὐλογητός εἶ.

Ὠδὴ η΄. Τόν βασιλέα τῶν οὐρανῶν.
Περιπεσόντας ταῖς συμφοραῖς, ἀκρασίᾳ τε πτωχείᾳ καρδίας, ἀνόρθωσον ἡμᾶς Παρθένε, ὑμνεῖν σε εἰς αἰῶνας.
Ἴδε Μαρία τόν στεναγμόν, τῆς καρδίας τῶν ὑμνούντων σε δούλων, καί ῥᾶνον χάριν και εἰρήνην, ὑμνεῖν σε εἰς αἰῶνα.

Κεκακωμένους ταῖς προσβολαῖς, τοῦ δολίου ἐλευθέρωσον Μῆτερ, καί δός νῦν ὑμνεῖν σε ἐπαξίως, εἰς πάντας τούς αἰῶνας.

Ρεπυρωμένοι νοῦν καί ψυχήν, Συμεών, σύ ἀποκάθαρον πάντας, ὑμνεῖν Χριστόν ἐν κατανύξει, εἰς πτάντας τούς αἰῶνα.

Ἁμαρτιῶν μου τόν ἀριθμόν, κατά νοῦν, οἴμοι, βαλλόμενος τρέμω, καθάρισον ὑμνεῖν σε Κόρη, εἰς πάντας τούς αἰῶνας.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
Τήν μόνην Θεοτόκον, Συμεών καί Ἄννα, ἐν τῷ Ναῷ τοῦ Κυρίου ὑπήντουν πιστῶς, ἀπό καρδίας βοῶντες· Σέ μεγαλύνομεν.
Ἑπάκουσον Παρθένε, Μῆτερ Θεοτόκε, τῶν ἀναξίως Ναῷ σου βοώντων πικρῶς, καί καταξίωσον πάντας τῆς εὐλογίας σου.

Ἰδεῖν κατηξιώθης, τοῦ πεποθημένου, ὦ Συμεὼν σύν τῇ Ἄννῃ, Σωτῆρα Χριστόν. Καί τους ὑμνοῦντας ἀξίωσον τῆς ἐφέσεως.

Ἁγίασον Μαρία, Κεχαριτωμένη, ἡμῶν τον νοῦν τε ψυχήν τῇ δυνάμει Χριστοῦ, ἵν᾽ εὐγνωμόνως ἐν πίστει σέ μεγαλύνωμεν.

Σωτῆρα τοῖς ἀνθρώποις, πᾶσιν ἐχαρίσω, τοῖς ἀνυμνοῦσί σε ὄντως Μητέρα Θεοῦ. Διό ἀξίως ἐν ὕμνοις σέ μεγαλύνομεν.

Καί εὐθύς·

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καὶ τὰ παρόντα μεγαλυνάρια,

Τὴν Μητέρα πάντες τοῦ Λυτρωτοῦ, φέρουσὰν ὡς βρέφος, τεσσαράκοντα ἡμερῶν, τόν πρό τῶν αἰώνων, δημιουργόν τοῦ κόσμου, ἐν ὕμνοις νῦν τιμήσωμεν μεγαλύνοντες.

Τὴν ἀειμακάριστον, ἀδελφοί, καί ἁγνήν Παρθένον, προσιοῦσαν ἐν τῷ Ναῷ, δεῦτε μετά πόθου, καί ᾄσμασιν ἐνθέοις, ὡς μόνην Ἀειπάρθενον μακαρίσωμεν.

Ἄχραντε Παρθένε, Μῆτερ Θεοῦ, δέξαι παρακλήσεις, προσπιπτόντων ἐν στεναγμοῖς, και μετά δακρύων, θερμῶς παρακαλούντων, παρέχουσα εἰρήνην καί τήν συγχώρησιν.

Πρόσδεξαι τήν δέησιν, Συμεών, ὥσπερ προσεδέξω, ἐν ἀγκάλαις τόν Λυτρωτήν, καί πᾶσι παράσχου, ὑμνεῖν αὐτόν ἀξίως, ὡς ἀγαθόν ἐν πᾶσι καί μόνον εὔσπλαγχνον.

Ω Ἄννα θυγάτπρ τοῦ Φανουήλ, δεῦρο στῆθι ὧδε, τῷ Κελλίῳ Ὑπαπαντῆς, καί πρός τόν Δεσπότην, ὡς βρέφος ὁραθέντα, ἐν τῷ Ναῷ τον ὕμνον, ἡμῶν προσάγαγε.

Συμεών σύν Ἄννῃ καί Ἰωσήφ, οἱ ἀξιωθέντες, τό μυστήριον κατιδεῖν, τοῦ Θεοῦ καί Λόγου, καί τούτῳ ὑπουργῆσαι, σωτήριον Κυρίου ἡμῖν χαρίσατε.

Τὴν Παρθένον Κόρην ἐν τῷ Ναῷ, ὡς βρέφος κρατοῦσαν, τόν Δεσπότην καί Λυτρωτήν, μετά υμεῶνος καί Ἰωσήφ καί Ἄννης, δεῦτε ἀξίως πάντες, ἀνευφημήσωμεν.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι πτάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.
Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.
Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τα ἑξῆς
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σέ νεκρόν.
Δεῦτε κατανύξει, ἀδελφοί, ἐν χαρᾷ καί πόθῳ ἐνθέῳ πανηγυρίζοντες, θεῖον ὕμνον ἄσωμεν Ὑπαπαντῇ, τοῦ Χριστοῦ, καί Εἰκόνι προσπέσῶμεν, αὐτήν προσκυνοῦντες, ὥς ποτε τον Κύριον ἐν τῷ Ναῷ Συμεών, ἅμα καί τῇ Ἄννῃ βοῶντες· Δόξα σοι Φιλάνθρωπιε, ὅτι καί ἡμῖν τήν ἄφεσιν νῦν ἔδωκας.
Δέσποινα πρόσδεξαι τὰς δεήσεις …

Τὴν πᾶσαν ἐλπίδα μου…